τὰν Μουράτη πατριάρχην ἠβουλήθη ἀναδεῖξαι Διονύσιον τὸν Φιλιππουπόλεως μητροπολίτην, γνώριμον αὐτῇ πρὸ πολλοῦ χρόνου γεγονότα. Ὅθεν βαλοῦσα ἐπ' ἀργυροῦ πίνακος δύο χιλιάδας φλωρίων ἐνεχείρισε τῷ σουλτάνῳ καὶ τὸν φίλον αὐτῆς Διονύσιον πατριάρχην προβληθῆναι ᾐτήσατο· ὅστις τὸν χρυσὸν δεξάμενος καὶ εὐχαριστήσας αὐτῇ πρόγραμμα δέδωκε γενέσθαι τὴν αὐτῆς ἀξίωσιν. Διὸ ἀνεβιβάσθη ἐπὶ τὸν Οἰκουμενικὸν θρόνον ὁ ῥηθεὶς Διονύσιος, ὅστις ὥρμητο μὲν ἀπὸ τῆς Πελοποννήσου, ἐλθὼν δὲ εἰς Βυζάντιον Μάρκῳ τῷ Εὐγενικῷ τῷ καὶ Ἐφέσου μητροπολίτῃ διηκόνει, παιδευθεὶς ὑπ' αὐτῷ τήν τε μοναδικὴν πολιτείαν καὶ ἀρετήν· τῆς δὲ Κωνσταντινουπόλεως ἁλούσης, αἰχμάλωτος σὺν τοῖς λοιποῖς γεγονὼς ὑπό τινος χριστιανοῦ Ἀδριανουπολίτου τῆς δουλείας λυτροῦται, καὶ μετ' ὀλίγον διὰ τὴν ἀρετὴν Φιλιππουπόλεως μητροπολίτης προχειρίζεται, εἶτα καὶ εἰς τὸν Οἰκουμενικὸν θρόνον τὸν ῥηθέντα τρόπον ἀνάγεται· οὗ γενομένου ὁ μὲν Μάρκος ὁ Ξυλοκαράβης εἰς τὴν ἀρχιεπισκοπὴν Ἀχριδῶν μετετέθη, ὁ δὲ Συμεὼν ὁ Τραπεζούντιος ἐν τῇ τοῦ Στενημάχου μονῇ ἀπῆλθε μονάσων.

—

## Ἔτει σωτηρίῳ 1477, τοῦ Χιτζρὲ 882.

Ὁ σουλτὰν Μεχμέτης ὑποτάσσει τὴν Ἀλεξάνδρειαν τὴν ἐν Ἰσσῷ τῆς Κιλικίας, κτισθεῖσάν ποτε ὑπὸ τοῦ Μακεδόνος Ἀλεξάνδρου, τουρκιστὶ Σκενδεροῦνα, καὶ ἰταλιστὶ Ἀλεξανδρέτα λεγομένην· κεῖται ὑπὸ τῷ θρόνῳ τοῦ Ἀντιοχείας, πόλις οὖσα παράλιος καὶ δυσκραεστάτου ἀέρος. (Διὰ ταύτης διῆλθον ἐγὼ μετὰ τοῦ Ῥαγὶπ-πασσᾶ,ἔτει σωτηρίῳ 1751, ἀπερχομένου εἰς Ἔδεσσαν, καὶ πάλιν διῆλθον μετὰ τοῦ αὐτοῦ, ἔτει σωτηρίῳ 1757, ἐρχομένου εἰς Κωνσταντινούπολιν μὲ τὸ βεζαρέτι-οὐζμᾶ.) Ἥρπασε δὲ ταύτην τότε ὁ σουλτὰν Μεχμέτης ἀπὸ τῆς ἐξουσίας τοῦ βασιλέως τῆς Αἰγύπτου Καῒτ-πέη, ἑνὸς ὄντος τῶν βασιλέων τοῦ Δεβλέτι Τζερακισέ.

—

## Ἔτει σωτηρίῳ 1478, τοῦ Χιτζρὲ 883.

Κτίζει ὁ σουλτὰν Μεχμέτης ἐν τῇ Κωνσταντινουπόλει παλάτιον ὅπερ ἐστὶ τὸ καὶ μέχρι τοῦδε παρὰ τῶν διαδόχων αὐτοῦ σουλτάνων οἰκούμενον ἐν τῷ Βυζαντίῳ.

—

## Ἔτει σωτηρίῳ 1479, τοῦ Χιτζρὲ 884.

Ὁ Ἀλιαδὶν-πέης ζητεῖ τὴν παρὰ τοῦ σουλτὰν Μεχμὲτ συμμαχίαν κατὰ τοῦ ἰδίου πατρὸς Μπαδδὰκ-πέη βασιλέως τῆς Κίνας, Τζίνι Ματζὶν τουρκικώτερον λεγομένης. Δίδωσι τοίνυν στρατὸν ὁ σουλτάνος τῷ Ἀλιαδὶν πέη, ὅστις δι' αὐτοῦ νικήσας τὸν ἴδιον πατέρα φυγεῖν κατηνάγκασε πρὸς τὸν βασιλέα τῆς Αἰγύπτου.

—